ποιηταί, ὅτι βίᾳ τινὶ ἔλαβον τὴν βασιλείαν τοῦ Κρόνου, ἀλλὰ ἔφη διενείμαντο. τί δέ ἐστι τὸ ἀπὸ Κρόνου λαβεῖν τὸν νόμον; νόμος ἐστὶν ἡ τοῦ νοῦ διανομή· εἴρηται δέ, ὅτι ὁ Κρόνος σημαίνει τὸν νοῦν· διὰ τοῦτο οὖν ἐκεῖθεν ὁ νόμος· ἰστέον δέ, ὅτι τριττὴ ἡ φύσις τῶν ἐγκοσμίων μετὰ τὰ ὑπερκόσμια· ἐκεῖνα γὰρ καὶ ἄνευ σωμάτων παντελῶς καὶ τῶν οὐρανίων τυγχάνει ὄντα· τριττὰ οὖν ἐστι τὰ ἐγκόσμια· τὰ μὲν οὐράνια, τὰ δὲ χθόνια καὶ τὰ μεταξὺ τούτων, ἅ ἐστι πύρια, ἀέρινα, ὑδάτινα· τὰ μὲν οὖν οὐράνια ἔχει ὁ Ζεύς, τὰ δὲ χθόνια ὁ Πλούτων, τὰ δὲ μεταξὺ ὁ Ποσειδῶν. πάλιν διὰ τούτων δυνάμεις ἐφεστηκυῖαι τούτοις σημαίνονται· ὁ γὰρ Ζεὺς σκῆπτρον διὰ τοῦτο ἔχει ὡς σημαίνων τὸ δικαστικόν, ὁ δὲ Ποσειδῶν διὰ τοῦτο τρίαιναν ὡς ἔφορος τοῦ τριττοῦ τούτου τοῦ μεταξύ, ὁ δὲ Πλούτων κυανέαν διὰ τὸ σκοτεινόν· ὥσπερ γὰρ ἡ κυανέα κρύπτει τὴν κεφαλήν, οὕτως καὶ αὕτη ἡ δύναμις τῶν ἀφανῶν ἐστι.

5 καὶ μὴ νομίσητε, ὅτι οἱ φιλόσοφοι λίθους τιμῶσι καὶ τὰ εἴδωλα ὡς θεῖα, ἀλλ᾽ ἐπειδὴ κατ᾽ αἴσθησιν ζῶντες οὐ δυνάμεθα ἐφικέσθαι τῆς ἀσωμάτου καὶ ἀύλου δυνάμεως, πρὸς ὑπόμνησιν ἐκείνων τὰ εἴδωλα ἐπινενόηται, ἵνα ὁρῶντες ταῦτα καὶ προσκυνοῦντες εἰς ἔννοιαν ἐρχώμεθα τῶν ἀσωμάτων καὶ ἀύλων δυνάμεων. λέγεται τοίνυν καὶ τοῦτο παρὰ τῶν ποιητῶν, ὅτι ὁ Ζεὺς τῇ Θέμιδι μιγεὶς ἐποίησε τρεῖς θυγατέρας Εὐνομίαν, Δίκην, Εἰρήνην· Εὐνομία μὲν οὖν πολιτεύεται ἐν τῇ ἀπλανεῖ· ἐκεῖ γὰρ ἀεὶ καὶ ὡσαύτως ἡ αὐτὴ κίνησις καὶ οὐδὲν διῃρημένον· ἐν μέντοι τῇ τῶν πλανωμένων ἡ Δίκη· ἐνταῦθα γὰρ ἡ τῶν ἀστέρων διάκρισις, ὅπου δὲ διάκρισις, ἐκεῖ χρεία δίκης τῆς πρὸς ἀξίαν νεμούσης· ἐνταῦθα δὲ ἡ Εἰρήνη, ἐπειδὴ καὶ ἡ μάχη ἐνταῦθα· ὅπου γὰρ μάχη, ἐκεῖ χρεία Εἰρήνης μάχη δὲ θερμοῦ ψυχροῦ, ὑγροῦ ξηροῦ, πλὴν καίπερ μάχη οὖσα συμβάλλεται· ταῦτα οὖν ἐστι τὰ ὑπὸ τῶν ποιητῶν. διά

22 Hes. theog. 901. Hymn. Orph. XLIII

16 mg. ση. τί λέγει περὶ εἰδώλων 23. 24 mg. Εὐνομία ἀπλανής / Δίκη πλανωμένη / Εἰρήνη γένεσις